# ΚΥΡΙΑΚΗ τοῦ ΑΝΤΙΠΑΣΧΑ

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Τὰ ἐγκαίνια τῆς Ἀναστάσεως

## Θωμᾶς, Ἀπόστολος ἐκ ΙΒ′: ἡ Ψηλάφησις




*Τοιχογραφία (1546/7), Ἱ. Μ. Διονυσίου, Ἄθω.*

**Ἀπολυτίκιον.** Ἦχος βαρύς.

**Ἐ**σφραγισμένου τοῦ Μνήματος, ἡ Ζωὴ ἐκ Τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, Πνεῦμα εὐθὲς δι᾽ αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα Σου ἔλεος.

**Κοντάκιον.** Ἦχος πλ. δ′.

**Τ**ῇ φιλοπράγμονι δεξιᾷ, τὴν ζωοπάροχόν Σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε, Χριστὲ ὁ Θεός· συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐβόα Σοι· Κύριος ὑπάρχεις καὶ Θεός μου.

**Στίχοι.**

**Ε**ἰ νηδύος κλείς, ἢ τάφου μὴ κωλύει,
**Σ**ὴν Σῶτερ ὁρμήν, κλεὶς θυρῶν πῶς κωλύσει;

## Τῇ Κυριακῇ τοῦ Ἁγίου Ἀποστόλου Θωμᾶ

*(Πράξ. ε′ 12-20· Ἰωάν. κ′ 19-31)*

**Κεκλεισμέναι** ἦσαν αἱ θύραι τοῦ οἰκήματος, ἔνθα ἦσαν οἱ Μαθηταὶ συνηγμένοι κατὰ τὴν ἑσπέραν τῆς παρελθούσης τοῦ Πάσχα Κυριακῆς, ὅτε ἐλθὼν παραδόξως ὁ Ἰησοῦς, ἔστη ἐν τῷ μέσῳ καὶ ἀσπασάμενος αὐτοὺς διὰ τοῦ συνήθους· Εἰρήνη ὑμῖν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὴν πλευράν· καὶ προσέτι, λαβὼν παρ᾽ αὐτῶν μέρος ἰχθύος ὀπτοῦ καὶ κηρομέλι, ἔφαγεν ἐνώπιον αὐτῶν, καὶ οὕτως ἐπιστοποίησεν αὐτοῖς τὴν Ἑαυτοῦ Ἀνάστασιν. **Ὁ** δὲ Θωμᾶς, μὴ εὑρεθεὶς τότε μετὰ τῶν λοιπῶν, οὐκ ἐπίστευσεν εἰς τὴν περὶ τῆς Ἀναστάσεως τοῦ Χριστοῦ μαρτυρίαν ἐκείνων, ἀλλ᾽ εἶπεν ἀποφασιστικῶς· «Ἐὰν μὴ ἴδω καὶ ψηλαφήσω τὰς τρυπηθείσας Αὐτοῦ χεῖρας καὶ τὴν λογχευθεῖσαν πλευράν, οὐ μὴ πιστεύσω». **Ὅ**θεν μεθ᾽ ἡμέρας ὀκτώ, τουτέστι κατὰ τὴν σήμερον, ὄντων πάλιν τῶν Μαθητῶν συνηγμένων, ὁμοῦ δὲ καὶ

τοῦ Θωμᾶ, ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν πάλιν κεκλεισμένων, ὡς καὶ πρότερον· καὶ στὰς εἰς τὸ μέσον καὶ εἰπὼν τό· Εἰρήνη ὑμῖν, λέγει ἔπειτα πρὸς τὸν Θωμᾶν· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς Μου, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν Μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

**Ὁ** δὲ Θωμᾶς, ἰδὼν καὶ ψηλαφήσας ἀκριβῶς τὰς χεῖρας καὶ τὴν πλευρὰν τοῦ Δεσπότου, ἀνεβόησε μετὰ πίστεως· Ὁ Κύριός μου καὶ ὁ Θεός μου· καὶ οὕτως ἐκήρυξε τρανῶς τοῦ Θεανθρώπου τὰς δύο φύσεις, τὴν ἀνθρωπίνην καὶ τὴν θείαν.

❖



*Λεπτομέρεια μικρογραφίας (τέλη ΙΒ΄ αἰ.), κώδ. Ἱ. Μ. Ἁγίας Αἰκατερίνης Σινᾶ.*